ἄδηλος γὰρ ἡ ἐπιστήμη, εἰ ἔσω ἢ ἔξω, ὥσπερ κἀκεῖνος. τὸ γὰρ ἔργον, τέλος· ἡ δὲ ἐνέργεια, τὸ ἔργον. διὸ καὶ τοὔνομα λέγεται ἐνέργεια κατὰ τὸ ἔργον, καὶ συντείνει πρὸς τὴν ἐντελέχειαν. ἐπεὶ δ' ἐστὶ τῶν μὲν ἔσχατον ἡ χρῆσις. οἷον ὄψεως ἡ ὅρασις, καὶ οὐδὲν γίνεται παρὰ ταύτην ἕτερον ἀπὸ τῆς ὄψεως ἔργον· ἀπ' ἐνίων δὲ γίνεταί τι, οἷον ἀπὸ τῆς οἰκοδομικῆς, οἰκία παρὰ τὴν οἰκοδόμησιν· ὅμως οὐδὲν ἧττον, ἔνθα μὲν τέλος, ἔνθα δὲ μᾶλλον τέλος τῆς δυνάμεώς ἐστιν. ἡ γὰρ οἰκοδόμησις ἐν τῷ οἰκοδομουμένῳ, καὶ ἅμα γίνεται καὶ ἔστι τῇ οἰκίᾳ. ὅσων μὲν οὖν ἕτερόν τί ἐστι παρὰ τὴν χρῆσιν τὸ γιγνόμενον, τούτων μὲν ἡ ἐνέργεια ἐν τῷ ποιουμένῳ ἐστίν, οἷον ἥ τε οἰκοδόμησις ἐν τῷ οἰκοδομουμένῳ, καὶ ἡ ὕφανσις ἐν τῷ ὑφαινομένῳ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, καὶ ὅλως ἡ κίνησις ἐν τῷ κινουμένῳ. ὅσων δὲ μή ἐστιν ἄλλο τι ἔργον παρὰ τὴν ἐνέργειαν, ἐν αὐτοῖς ὑπάρχει ἡ ἐνέργεια· οἷον ἡ ὅρασις ἐν τῷ ὁρῶντι, καὶ ἡ θεωρία ἐν τῷ θεωροῦντι, καὶ ἡ ζωὴ ἐν τῇ ψυχῇ. διὸ καὶ ἡ εὐδαιμονία· ζωὴ γὰρ καὶ ποιά τις ἐστίν. ὥστε φανερὸν ὅτι ἡ οὐσία καὶ τὸ εἶδος, ἐνέργειά τις ἐστί. κατά τε δὴ τοῦτον τὸν λόγον φανερόν, ὅτι πρότερον τῇ οὐσίᾳ ἐνέργεια δυνάμεως· καὶ ὥσπερ εἴπομεν τοῦ χρόνου ἀεὶ προλαμβάνει ἐνέργεια ἑτέρα πρὸ ἑτέρας, ἕως τῆς τοῦ ἀεὶ κινοῦντος πρώτως. ἀλλὰ μὴν καὶ κυριωτέρως. τὰ μὲν γὰρ ἀΐδια, πρότερα τῇ οὐσίᾳ τῶν φθαρτῶν. ἔστι δ' οὐδὲν δυνάμει ἀΐδιον. λόγος δ' ὅδε· πᾶσα δύναμις ἅμα τῆς ἀντιφάσεώς ἐστι. τὸ μὲν γὰρ μὴ δυνατὸν ὑπάρχειν, οὐκ ἂν ὑπάρξειεν οὐδενί. τὸ δυνατὸν δὲ πᾶν ἐνδέχεται μὴ ἐνεργεῖν. τὸ ἄρα δυνατὸν εἶναι, ἐνδέχεται καὶ εἶναι καὶ μὴ εἶναι. τὸ αὐτὸ ἄρα δυνατὸν καὶ εἶναι καὶ μὴ εἶναι. τὸ δὲ δυνατὸν μὴ εἶναι, ἐνδέχεται μὴ εἶναι. τὸ δὲ ἐνδεχόμενον μὴ εἶναι, φθαρτόν, ἢ ἁπλῶς, ἢ τοῦτο αὐτὸ ὃ λέγεται ἐνδέχεσθαι μὴ εἶναι, ἢ κατὰ τόπον, ἢ κατὰ τὸ ποσόν, ἢ κατὰ τὸ ποιόν· ἁπλῶς δὲ τὸ κατ' οὐσίαν. οὐδὲν ἄρα τῶν ἀφθάρτων ἁπλῶς, δυνάμει ἐστὶν ὂν ἁπλῶς· κατά τι δ' οὐδὲν κωλύει, οἷον ποιόν, ἢ πού. ἐνεργείᾳ ἄρα πάντα· οὐδὲ τῶν ἐξ ἀνάγκης ὄντων, καίτοι ταῦτα πρῶτα. εἰ γὰρ ταῦτα μὴ ἦν, οὐδὲν ἂν ἦν. οὐδὲ δὴ κίνησις, εἴ τις ἐστὶν ἀΐδιος· οὐδ' εἴ τι κινούμενον ἀΐδιον, οὐκ ἔστι κατὰ δύναμιν κινούμενον, ἀλλ' ἢ πόθεν, ἢ ποῖ. τούτου δ' ὕλην οὐδὲν κωλύει ὑπάρχειν, διὸ ἀεὶ ἐνεργεῖ ὁ ἥλιος καὶ ἄστρα, καὶ ὅλος ὁ οὐρανός, καὶ οὐ φοβερὸν μή ποτε στῇ, ὃ φοβοῦνται οἱ περὶ φύσεως.

A Non enim erit manifestum, an intra, vel extra sit sciētia, quemadmodum etiā ille. Opus enim finis: operatio verò, opus. Vnde nomen operatio dicitur ab opere, & tendit ad perfectionē. Cùm autē quorundam quidem vltimū sit vsus, vt visus visio, & nihil præter hanc aliud à visu fiat opus: à quibusdam verò fiat aliud, vt ab ædificatiua domus præter ædificationē, nihilo minus tamen illic quidem finis, hic verò
B magis finis potentiæ est. Ædificatio nanq. in ædificato simul & fit, & est cum domo. Quorumcunque itaque aliud quiddā præter vsum est id, quod fit, horum actus in eo quod fit, est: vt ædificatio in eo, quod ædificatur: & contexio, in eo, quod contexitur: similiter & de aliis, & omnino motus in moto. Quorū verò non est aliud quoddam opus præter actionem, in ipsismet actio est: vt visio in vidente, & speculatio in speculante, & vita in anima. Quare fe-
C licitas etiam: vita nanque quædam est. Vnde patet, quòd substantia, & species actus est. Et secundum hanc igitur rationem manifestum est, quòd prior substantia actus, quàm potentia. Et, quemadmodum diximus, tempore semper præcedit actus, alius ante alium: vsque ad eum, qui est primò mouentis: veruntamen etiam magis principaliter. Æterna enim priora corru-
D ptibilibus substantiā sunt: nihil verò potentia, æternum est. Ratio autem hæc, omnis potētia simul cōtradictionis est. Quod enim non est possibile esse, non inerit alicui. Omne verò possibile, contingit non agere. Quod igitur est possibile esse, contingit esse, & non esse: quod verò est possibile non esse, contingit non esse, quod autem contingit non esse, corruptibile est, aut simpliciter, aut hoc ipsum, quod dici-
E tur, contingere non esse, siue secūdum locum, siue secundum quantum, siue secundum quale: simpliciter verò, quod secundum substantiam. Nihil igitur simpliciter incorruptibilium, simpliciter potentia est: secundum aliquid aūt, nihil prohibet, aut quale, aut vbi. Actūne ergo omnia? Nec eorū: quæ necessariò sunt, licet hęc prima. Si. n. ipsa non essent, nihil esset profectò. Nec si quis motus æternus, aut si quid æternū motū est, est secundū potētiam motū,
F nisi vnde, quo: huius autē materiam nihil prohibet esse. Quare semper agit Sol, & stellæ totúmque cælum: neque timēdum ne quādo stet, quod metuūt quidā Physici.